eul_wid: has-aa

*Σκύθινος ὁ Τήϊος* · Scythinus of Teos I

# Epigrams

*Ἐπιγράμματα*

**Period:** *Κλασική* Classical
**Dialect:** *Κοινή* Koine
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Ἔμμετρος* Verse

book 22.1.1 Ἦλθέν μοι μέγα πῆμα, μέγας πόλεμος, μέγα μοι πῦρ,
book 22.1.2 Ἰλισὸς πλήρης τῶν ἐς ἔρωτ' ἐτέων,
book 22.1.3 αὐτὰ τὰ καίρι' ἔχων ἑκκαίδεκα καὶ μετὰ τούτων
book 22.1.4 πάσας καὶ μικρὰς καὶ μεγάλας χάριτας
book 22.5.1 καὶ πρὸς ἀναγνῶναι φωνὴν μέλι καὶ τὸ φιλῆσαι
book 22.5.2 χείλεα καὶ τὸ λαβεῖν ἔνδον ἀμεμπτότατον.
book 22.5.3 καὶ τί πάθω; φασὶν γὰρ ὁρᾶν μόνον· ἦ ῥ' ἀγρυπνήσω
book 22.5.4 πολλάκι τῇ κενεῇ Κύπριδι χειρομαχῶν.
book 232.1.1 Ὀρθὸν νῦν ἕστηκας, ἀνώνυμον, οὐδὲ μαραίνῃ,
book 232.1.2 ἐντέτασαι δ' ὡς ἂν μήποτε παυσόμενον·
book 232.1.3 ἀλλ' ὅτε μοι Νεμεσηνὸς ὅλον παρέκλινεν ἑαυτὸν
book 232.1.4 πάντα διδούς, ἃ θέλω, νεκρὸν ἀπεκρέμασο.
book 232.5 τείνεο καὶ ῥήσσου καὶ δάκρυε· πάντα ματαίως·
book 232 οὐχ ἕξεις ἔλεον χειρὸς ἀφ' ἡμετέρης.